εἰς ἐξέπιε τὸ ποτήριον, οἱ δ᾽ ἄλλοι πάντες, ὡς ἐφαίνετο
622 πειρωμένοις ἀδύνατον, ἀπέτισαν τὴν ζημίαν. | χαρίεις
οὖν Ἀγαπήστωρ, καὶ ποιητέον εὐκόλους οὕτω καὶ ἱλαρὰς
τὰς ἀμύνας· . . . προστάγμασιν ἐθιστέον χρῆσθαι πρὸς
ἡδονὴν καὶ ὠφέλειαν, τὰ οἰκεῖα καὶ δυνατὰ καὶ κοσμοῦντα
τὸν δρῶντα προστάσσοντας, ᾠδικοῖς ᾆσαι ῥητορικοῖς
εἰπεῖν φιλοσόφοις λῦσαί τι τῶν ἀπορουμένων ποιηταῖς
προενέγκασθαι στίχους. ἡδέως γὰρ εἰς τοῦθ᾽ ἕκαστος
ἄγεται καὶ προθύμως, (Eur. fr. 183)

‘ἵν᾽ αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν.’

ὁ μὲν οὖν τῶν Ἀσσυρίων βασιλεὺς ἆθλον ὑπὸ κήρυκος
κατήγγειλεν τῷ καινὴν ἡδονὴν ἐξευρόντι· συμποσίου δὲ
βασιλεὺς ἀστεῖον ἆθλον ἂν καὶ γέρας προθείη τῷ παιδιὰν
B ἀνύβριστον εἰσηγησαμένῳ καὶ τέρψιν ὠφέλιμον καὶ γέ-
λωτα μὴ μώμου μηδ᾽ ὕβρεων ἀλλὰ χάριτος καὶ φιλοφρο-
σύνης ἑταῖρον· ἐν οἷς τὰ πλεῖστα ναυαγεῖ συμπόσια μὴ
τυχόντα παιδαγωγίας ὀρθῆς. ἔστι δὲ σώφρονος ἀνδρὸς
ἔχθραν φυλάττεσθαι καὶ ὀργήν, ἐν ἀγορᾷ τὴν ἐκ πλεονε-
ξίας ἐν γυμνασίοις καὶ παλαίστραις ἐκ φιλονικίας ἐν δ᾽
ἀρχαῖς καὶ φιλοτιμίαις ἐκ φιλοδοξίας ἐν δὲ δείπνῳ καὶ
παρὰ πότον ἐκ παιδιᾶς ἐπιτιθεμένην.’